γυρίου τετρακόσια τάλαντα, χρυσίου δὲ διακόσια· 12 ἀδικηθῆναι δὲ 12
τοὺς πεπιστευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ καὶ τῇ τοῦ τετιμη-
μένου κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι καὶ ἀσυλίᾳ
παντελῶς ἀμήχανον εἶναι. 13 ὁ δὲ Ἡλιόδωρος, δι᾽ ἃς εἶχεν βασιλι- 13
κὰς ἐντολάς, πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναλημπτέα ταῦτα
εἶναι. 14 ταξάμενος δὲ ἡμέραν εἰσῄει τὴν περὶ τούτων ἐπίσκεψιν 14
οἰκονομήσων· ἦν δὲ οὐ μικρὰ καθ᾽ ὅλην τὴν πόλιν ἀγωνία. 15 οἱ 15
δὲ ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαν-
τες ἑαυτοὺς ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παρακαταθήκης
νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῶα διαφυλάξαι.
16 ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν τιτρώσκεσθαι τὴν διά- 16
νοιαν· ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινεν
τὴν κατὰ ψυχὴν ἀγωνίαν· 17 περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέος 17
τι καὶ φρικασμὸς σώματος, δι᾽ ὧν πρόδηλον ἐγίνετο τοῖς θεω-
ροῦσιν τὸ κατὰ καρδίαν ἐνεστὸς ἄλγος. 18 ἔτι δὲ ἐκ τῶν οἰκιῶν 18
ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετείαν διὰ τὸ μέλλειν εἰς κα-
ταφρόνησιν ἔρχεσθαι τὸν τόπον. 19 ὑπεζωσμέναι δὲ ὑπὸ τοὺς μα- 19
στοὺς αἱ γυναῖκες σάκκους κατὰ τὰς ὁδοὺς ἐπλήθυνον· αἱ δὲ
κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον ἐπὶ τοὺς πυλῶνας,
αἱ δὲ ἐπὶ τὰ τείχη, τινὲς δὲ διὰ τῶν θυρίδων διεξέκυπτον· 20 πᾶσαι 20
δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐποιοῦντο τὴν λιτα-
νείαν· 21 ἐλεεῖν δ᾽ ἦν τὴν τοῦ πλήθους παμμιγῆ πρόπτωσιν τήν τε 21
τοῦ μεγάλως ἀγωνιῶντος ἀρχιερέως προσδοκίαν. 22 οἱ μὲν οὖν 22
ἐπεκαλοῦντο τὸν παγκρατῆ κύριον τὰ πεπιστευμένα τοῖς πεπιστευ-
κόσιν σῶα διαφυλάσσειν μετὰ πάσης ἀσφαλείας. 23 ὁ δὲ Ἡλιόδωρος 23
τὸ διεγνωσμένον ἐπετέλει. 24 αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις 24
κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος ὁ τῶν πνευμάτων καὶ πάσης
ἐξουσίας δυνάστης ἐπιφάνειαν μεγάλην ἐποίησεν ὥστε πάντας
τοὺς κατατολμήσαντας συνελθεῖν καταπλαγέντας τὴν τοῦ θεοῦ
δύναμιν εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι· 25 ὤφθη γάρ τις ἵππος 25
αὐτοῖς φοβερὸν ἔχων τὸν ἐπιβάτην καὶ καλλίστῃ σαγῇ διακεκο-
σμημένος, φερόμενος δὲ ῥύδην ἐνέσεισεν τῷ Ἡλιοδώρῳ τὰς ἐμπρο-
σθίους ὁπλάς· ὁ δὲ ἐπικαθήμενος ἐφαίνετο χρυσῆν πανοπλίαν ἔχων.
26 ἕτεροι δὲ δύο προσεφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν ἐκπρε- 26
πεῖς, κάλλιστοι δὲ τὴν δόξαν, διαπρεπεῖς δὲ τὴν περιβολήν, οἳ καὶ
περιστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως

12 αδικηθηναι] -κησαι A† | δε] τε A† || 13 δε ηλιοδωρος] δ ετερος A(†) || 17 περι] επι A† | ων] ην A† || 18 ετι *L*La] οι Apl. | μελλειν] pr. μη A† || 19 διεξεκυπτον] εξ > A || 21 δ ην] δε A† || 24 πνευματων] πατερων V*L* (+ κυριος *L*) || 25 ενεσεισε(ν)] εν 1⁰ > A | εμπροσθιους] ενπροθεσειους A† || 26 προσεφανησαν VLa] προσ > A | εκπρεπεις et διαπρεπεις] τ pro π 1⁰ A† | δοξαν] γλωσσαν A†, οψιν *L* | περισταντες unus cod.] + αυτω *L*La, παρισταντες (sic) AV*†, παραστάντες mu. | αυτον] pr. ε A†